## Str. 9,1,5 = 392,3

| | |
|---|---|
| Title | Geography |
| Author | Strabo |
| Date | 1st Cen.B.C.-1st Cen.A.D. |
| Original text | Τὸ παλαιὸν μὲν οὖν Ἴωνες εἶχον τὴν χώραν ταύ- την οἵπερ καὶ τὴν Ἀττικήν, οὔπω τῶν Μεγάρων ἐκτι- σμένων · διόπερ οὐδ’ ὁ ποιητὴς μέμνηται τῶν τόπων τούτων ἰδίως, ἀλλ’ Ἀθηναίους καλῶν τοὺς ἐν τῇ Ἀτ- τικῇ πάντας συμπεριείληφε καὶ τούτους τῷ κοινῷ ὀνό- ματι Ἀθηναίους νομίζων, ὡς ὅταν φῇ ἐν τῷ καταλό- γῳ „οἳ δ’ ἄρ’ Ἀθήνας εἶχον, ἐυκτίμενον πτολίεθρον“ δέχεσθαι δεῖ καὶ τοὺς νῦν Μεγαρέας, ὡς καὶ τούτους μετασχόντας τῆς στρατείας. σημεῖον δέ · ἡ γὰρ Ἀττικὴ τὸ παλαιὸν Ἰωνία καὶ Ἰὰς ἐκαλεῖτο, καὶ ὁ ποιητὴς ὅταν φῇ „ἔνθα δὲ Βοιωτοὶ καὶ Ἰάονες“ τοὺς Ἀθηναίους λέγει · ταύτης δ’ ἦν μερὶς καὶ ἡ Μεγαρίς. |
| Source | S. Radt, Strabons Geographika, Bd. 3, Buch IX-XIII. |
| Source of translation | S. Radt, Strabons Geographika, Bd. 3, Buch IX-XIII. |
| Instances | Str. 14,2,6; Str. 8,1,2; Str. 9,1,7; Paus. 1,39,4f. |
| Descriptor | Settlement history |
| Coverage | Megara |
| Ethnic Groups | Ionians |
| Editor | Margit Offenmüller |
| Publisher | Klaus Tausend, Institut für Alte Geschichte und Altertumskunde, Universität Graz |